Vc
2487

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-136827-p0001-6

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-136827-p0002-2

X 27,28.
Ak. XXV, 26
Vc 2487
I.

# REVERENDIS-SIMO, ET ILLVSTRIS-SIMO PRINCIPI, AC DOMINO, D. HENRICO IVLIO, EPISCOPO Halberſtadenſi, Adminiſtratori Mindenſi, Duci Brunſuicenſi & Lunæburgenſi, Et Illuſtriſsimæ ac lectiſsimæ principi, ac Dominæ D. DOROTHEAE, potentiſsimi, ac Illuſtriſsimi principis, ac Domini D. AVGVSTI Ducis Saxoniæ, S. Rom. Imp. Archimareſchalli & Electoris &c. filiæ, ſponſis illuſtriſsimis &c.

Επιθαλάμιος λόγος.

HELMSTADII
Excudebat Iacobus Lucius.
Anno M. D. LXXXV.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-136827-p0003-8



BIBLIOTHECA
PONICKAVIANA

UNIVERSITÄTS-BIBLIOTHEK
HALLE
(SAALE)

## Επιθαλάμιος λόγος.

Εκ θεοῦ ἀρχόμενος Μελιηδεῖς λέξω ἔρωτας
Ιουλιάδου Ερρίκου ἐν νεότητι, καὶ ἥβῃ
Ον μὲν ὅμως κρατερὸν καὶ πεπνυμένον περ ἐόντα
Κύπριδος υἱὸς ὀϊζυρῶς βεβλημένον ἦτορ
Νῦν ἐδάμασσε, καὶ αἰνὸν ἄχος κρατερόφρονι θυμῷ
Εμβαλε, ὅ,τι' αὐτῷ λῦσε ψυχήν τε μένος τε
Νύμφαι Ελμοπολίδες δίου κοῦραι Ιούλου
Ασκληπιοῦ αἵδε ἀμύμονος ἐκγεγαυῖαι
Εστε ἰατρίδες, καὶ ἤπια φάρμακα πάσσειν
Νούσοις ταῖς κρυεραῖς δὴ οἴδατε, καίριόν ἐστι
Σπεύδειν, καρπαλίμως τ' ἀλκὴν στονόεντι παράσχειν
Ιουλιάδῃ νοστερῷ πολυπενθέϊ, ὃς ἄλγεα πάσχει
Εν στήθεσσιν ἑοῖσιν Ερωτος πικρῷ ὀϊστῷ
Ουτάμενος, κ' αὐτὸν κρατέει οὐ νήδυμος ὕπνος
Νύμφῃ ἀμφὶ καλῇ, οὕτως οἱ δαίεται ἦτορ
Νῦν δὲ καλὴν βουλὴν βουλεύσατε εἴποτε ἥρωα
Υμέτερον ἰάσαιτ' ὀδυνηφάτα γὰρ μάλα πολλά
Φάρμακα, καὶ βοτάνας ἔχετ' αἷς δειλοῖσι βροτοῖσι
Οἴδατ' ἀκός τε φέρειν, καὶ τοὺς μελεδῶνας
Θυμοβόρους φεύγειν καὶ ἀεικέα λοιγὸν ἀμῦναι
Αρχετε: Πολλ' εἰσὶν βοτάναι καὶ φάρμακα πολλά
Νούσων, καὶ ὀδυνῶν κρυερῶν ἅπερ ἄλκος ἔασι
Ανθρώποισιν, πηγάνοιο δὲ φέρτερον οὐδέν
Τοῦτο νόσους πολλὰς ἴαται, πολύφαρμακον ἦεν
(Ως λόγος ἐν θνητοῖς) καὶ ἰατροῖσι παλαιοῖς
Θάλλει ἀριπρεπέως, ἄνθη καὶ φύλλα ἔραζε
Οὔποτε μὲν πίπτει, βοτάνη καὶ ἄφθιτος αἰεί
Χείμονος ἠδὲ νιφῶν βίαν Βορέου κ' ἀλέεινον
Καὶ ἄνεμον μίμνει, καὶ ὑετὸν ἤματα πάντα
Καὶ τοῦ ἰοῦ μὲν θυμοβόρου μέγα ἄκος ἐτύχθη
Καὶ φρεσὶν εὐφροσύνην τε φέρει, καὶ ἀγλαὰ δῶρα


Παλλά-

Παλλάδος ἐν ἀνθρώποις στηρίζει, καὶ ἀέξει
Οὐ μὴν ἀλλὰ γυναιξὶν καὶ πέλεται μέγα ὄνειαρ
Αὐτὰς τῶν ὀδυνῶν χ' ὥταν μέγα πένθος ἱκάνει
Ηδε γαλὴ μὲν ὅταν τῷ ὄφι κρατερῶς πολεμίζει
Ταύτης γευσαμένη νεῖκος, καὶ δῆριν ὀφέλλει
Τοῦ τ' ὄφεως κρείσσων, κλεῖός τε καὶ ἄθλον ἀφαιρεῖ
Ασπισι μαρναμένη στομάτεσσιν ἰόντε φερούσαις
Αλλὰ διοσκορίδης, ἄλλην δυνάμιν τε βιήντε
Πηγάνῳ ἐμφύειν, ἥτις πολὺ φερτέρη ἐστί
Φησὶν ἔρωτος ὑοῦ τῆς κύπριδος ἀκάματον πῦρ
Ιφι δαμάσσειν, ἀνθρώπων καὶ στήθεα θέλγειν
Ορσε Ιουλιάδη πολυμηχάνου υἱὸς Ιούλου
Ταῦτα λέγω σὺ δὲ εὐφρονέων ἐγκάτθεο θυμῷ
Αἰνὸν ἄχος σοι ἔστιν δεινὰ καὶ ἄλγεα πάσχεις
Κούρης, εἵνεκα καλλιπαρείου καὶ μελιηδοῦς
Δωροθέας θυγατρός τ' Αὐγούστου ἀνδρὸς ἀρίστου
Επιάνδρων ἡρώων τοῦ κράτος ἐστὶ μέγιστον
Ος περὶ καὶ ἄλλων φράζειν περὶ δ' ἐστὶ μάχεσθαι
Εν τῇ Γερμάνων κρατερῶν γῇ βουτιανείρῃ
Τούτου δὴ θυγατρὸς ἐρικέδνης καὶ ἐρατείνης
Ιμερος ἔν κραδίῃ κέντει, καὶ ὀλοφύρεται ἦτορ
Σὸν μεγάθυμος καί περ ἐὼν ἔρρικε ἄγαυε
Ως ὅτε τίς τε λέων ὀρεσίτροφος ὅν μάλα ἄνδρες
Θηρητῆρες ὀτρύνουσιν γλώσσαισιν ἀραίαις
Δεινὰ βλέπει δίψῃ τειρούμενος, ἔμπλεος ὀργῆς
Οὕτως Ιουλιάδῃ μὲν ἐπέσσυτο θυμὸς ἀγήνωρ
Ποθμῷ εὐζώνοιο γυναικὸς καὶ εὐπλοκάμοιο
Τὴν μὲν ἐὴν ἄλοχον πουλικάρδιον εὔχεται εἶναι
Παρθενικὴν, καὶ τήνδε γαμεῖν, οἴκονδε ἄγεσθαι
Παγκαρτίσῳ τοῦτο θεῷ μέλλει φίλον εἶναι
Ωστε λέγουσι βροτοὶ (πᾶς γὰρ γάμος ἐκ θεοῦ ἐστί)
Βρουνεοπύργῳ Σαξονίδων γένος ἅμα γαμίσαι

πάρθενος

Παρθένος ἤδ᾽ ἐστὶ στέφανον τῷ κράτι φέρουσα
πηγάνοιο καλὸν θαλερῶν κατὰ ἤθεα Νυμφῶν
Σαξονίδων, αἳ μὲν μάλα τῷδε κεκασμέναι εἰσί
Τῇδε ῥα μοι βουλὴ κατὰ θυμὸν φαίνετ᾽ ἀρίστη
Τόνδε λαβεῖν στέφανον τὸν σοὶ πόρε πότνια Νύμφη
Νύμφιε, ὅς δ᾽ ἂν ἔρωτος σοῦ κατάπαυμα γένοιτο
Σόν τε νόον θέλγων καὶ τὸν κρατερόφρονα θυμόν
Οὐτάμενον ῥα βέλει ἐν σοῖς στήθεσσι γαληνῶν
Τοὺς δὲ φλόγας κραδίης ἀσβέστους καὶ ἱμερόεντας
Ῥηϊδίως σβέσσῃ καὶ ἄλκος καύματος εἴη
Ὅττι φρένας τείρει, κρατερόν σε περ ἶφι δαμάσσει
Πολλοὶ ἡγεμόνων φοβερῶν ἀνδρῶν τε μεδόντων
Τήνδε λαβεῖν στεφάνην ἔθελον, καὶ ἀγλαὰ δῶρα
Πηγάνου χλωρώδους τοῦ ἐριθηλέος ἔρνους
Ἀλλὰ περὶ πάντων οὔτε πολλῶν ἔξοχα ἄλλων
Αὐγούστῳ πατρὶ αἰδοίῳ κεχαρισμένος ἐστί
Νύμφη καὶ σε φιλεῖ, τῇ σοῦ κεφαλῇ τε φορῆναι
Δωροθέα σε θέλει τέκμωρ καὶ ἄκος ἔρωτος
Σὴν διὰ τὴν ἀρετήν, καὶ τὸν μεγαλήτορα θυμόν
Εὐγενείην τε καλὴν τὴν σοι πόρε δῖα γυναικῶν
Μήτηρ Ἑδβίγη, ἤτοι περικάρδια εἶδε
Σὴν διὰ θεσπεσίην τε χάριν, ἣν ἀμφεχέευαν
Σῇ κεφαλῇ χάριτες, μάλα γὰρ πεπνυμένος ἐστί
Καὶ καλὴν σοφίαν, καὶ τοῖς φρεσὶν αἴσιμα εἰδώς
Τοὔνεκα τόνδε γάμον σοι Αὔγουστος πολύμητις
Πολλά τ᾽ ἔεδν᾽ ἅ ἔοικε φίλης ἐπὶ παιδὸς ἕπεσθαι
Χρήματα πολλὰ ἔχει, καὶ αὐτῷ κειμήλια κεῖται
Ἄφθονα, ὅσσα θεός γε πορεῖ ἀγαθοῖσι βροτοῖσι
Οὗτος γάρ σε φιλεῖ ὥσπερ τε πατὴρ φίλον υἱόν
Ἤπιος, ἠδὲ πρόφρων σε μὲν υἱὸν καὶ ἶσα τίεσκε
Οὗτος μὲν παναριστος πάντων ὅστε μέγιστος
Ἐπ᾽ ἀνδρῶν ῥητῆρά τε ἢ πρηκτῆρά τε ἔργων

Εμμεναι, ἥδε λέοις πλεόνεσσίν γ' ἶφι ἀνάσσειν
Εστ' ἐπιστάμενος: μεγάλου καὶ ῥῆμα θεοῖο
Ορθοτομεῖν ἐκέλευσε δίου κατὰ ἤθεα Παύλου
Αὐτὸν καὶ θείου ζῆλος κατεδαίνυται οἴκου
Εξοχα τῶν ἄλλων, ὅς καὶ μέγα μήσατο ἔργον
Νῦν μάλ' ὁμοφροσύνην, καὶ ὅρκια πιστὰ ταμῆναι
Εὐφρονέων σπουδάζει καὶ ὁμοφράδμονας εἶναι
Αρχιερεῖς ἁγίης διδαχῆς, ὡς πολλὸν ἄμεινον
Η αἰεὶ βροτολοιγὸν ἔριν, καὶ δῆριν ἀφέλλειν
Ω θεὸς ὑψίζυγε ἐπικρήηνον ἐέλδωρ
Ηρωϊ μεγαθύμῳ καὶ τετελεσμένον ἔστω
Ο,τι φρεσὶν γε μεμοινᾷ εὖ μάλα ὄφρα τελέσσῃ
Μὴ παλινάγρετα αὐτῷ ταῦτα ἂν ἔργα γένοιτο
Ω μάκαρ Ιουλιάδη, τοίου κ' ὡς ἔμμορες εὐνῆς
Ανδρὸς θυγατρὸς σεμνῇ αἰδοῖτε καὶ εἴδει
Η σοι εὐφρονέουσα βίου θελκτήριον ἔσται,
Τοῦ δὲ ὀϊζύροιο κακῶν τε μάλαγμα γένοιτο
Απάντων μάλακὸν, τόδε δὴ γέρας ἐστὶ γαμόντων
Αλοχος ὥς ἀγαθὴ ἀνδρὶ ἥμισυ τοῦ βίου ἐστί.
Καὶ μὲν τῇδε ἐν ἄλγεσι τέρπεται ὅν κατὰ θυμὸν
Νηπενθὲς καὶ ἐστὶ κακῶν ἐπίληθον ἁπάντων
Πάσης τ' ἀτυχίας βίου χαλεποῦ περ ἐόντος
Αλοχος ἄλλα ἄφρων, καὶ ἀμετροέπης μέγα πῆμα
Καὶ πάγις συνόεσσα πέλει καὶ δεσμὸς ἄλυτος
Ανδράσι τοῖς πᾶσιν καὶ ἄλληκτόν γε κακόν τε
Τοὔνεκα ἀφρήτωρ καὶ ἀνέστιος ἔστω ἐκεῖνος
Οστις μὴ θυμῷ φιλέει ἐργαλεινὰ γάμοιο
Εργα, περίφρονα μήτε τίει τὴν ἄλοχον αὐτοῦ
Η μὲν ὁμοφρονέουσ' ἀνδρὸς καὶ ἐπείθετο μύθῳ
Καὶ ἐτέλεσσε πρόφρων ἀγαθόν τ' ἔργόν τε ἔπος τε
Καὶ μάλα ἀθανάτοιο θεοῦ δὴ ἀγλαόν ἐστι
Δῶρον, ἡ ἄλοχος αἰδοίη σεμνὴ καὶ ἐχέφρων
Ως σὴ Δωροθέη Αὐγούστου ἦθος ἀρίστη

Θυγα-

Θυγατρῶν δῶρον σοι, ἥδε θεόσδοτόν ἐστι
Καὶ πάντων ἀγαθῶν κάλλιστον καὶ τὸ μέγιστον
Ὅ,τι παρὰ θεοῦ ἄνγε λάβοις Ἑρρῖκε ἀγαυέ
Καλὸν τήνδε φιλεῖν, καὶ κήδειν ἥ σέ τε κήδει
Καὶ μὲν ὅς ἐσθλὸς ἀνὴρ πέλεται πεπνυμένα εἰδώς
Τὴν αὐτοῦ φιλέει, καὶ κήδεται ἠδ' ἐλεαίρει
Τοὔνεκα ἱμερόεντα μετέρχεο ἔργα γάμοιο
Ἰουλιάδη γηθήσας, τέρπεο καὶ κατὰ θυμόν
Τόνδε γαμήλιον εὐνὴν σοι καταθύμιον εἶναι
Εὔχομαι, εὐμενέεσσιν καὶ πᾶσιν μὲν χάρμα γενέσθαι
Ὡς πήγανον χλωρῶδες μένει αἰὲν ἀλήκτως
Καὶ θάλλει καλῶς, μίμνει ἄνεμόντ' ὕετόντε
Καὶ πολλῶν νούσων κρυερῶν μάλα ἤπιόν ἐστι
Φάρμακον, ἀντίδοτον κ' ἀγαθὸν πολλῶντε μεριμνῶν
Ὡς καὶ ἀριπρεπέως, καὶ ἐν φιλότητι, καὶ εὐνῇ
Ἄμφω νῦν ζευχθέντε ὁμόφρονα θυμὸν ἔχοντε
Θάλλετον, οὔθ' ἡ μοῖρα κακή, κακὸν οὐδὲ κὲν ἄλλο
Ὑμῶν ἐνκήρσαι θαλάμῳ σφῶ δεινὰ ταράξῃ
Πρὶν θανάτοιο τέλος τὸ μέλαν σφῶ ἀμφικαλύψῃ
Σαξονίδωντε γένος τε τέον ῥ' ἀεὶ ἔμπεδον ἔσω
Καρποφόροντε πέλῃ καὶ ὕποτε αὖον ὄλοιτο
Πότνια σοί τε γυνὴ παῖδας γείνατω ἀγαθοὺς
Οἵ σοι μὲν ποτὶ γούνασι αἰεὶ παππάζωσι
Οἵτε δέμας τε φυὴν ἀρετήν τε σοι ἴκελ' ἔασι
Τῷτε σέο πάππῳ Ἑρρίκῳ ἀνδρὶ κρατίστῳ
Ἠ πόλεμόν τ' ὀρίνειν, ἠ ἀνδράσι ἶφι μάχεσθαι
Ἵνα τις ὀψιγόνων εἴπῃ ὅδε ἔκγονός ἐστι
Ἰουλιάδου Ἑρρίκου τοῖαι χεῖρες ἐπῆσαν
Τοῖος ἔην κεφαλὴν, καὶ τὸν κρατερόφρονα θυμόν
Χαιρέτω οὖν σεμνός τε πατὴρ καὶ πότνια μήτηρ
Ἑδβήγη τοῖς νῦνι γάμοις, καὶ ὄλβια πάντῃ
Βρουνεοπύργῳ τῷ γένει κρατερῶγε τετύχθω
Καὶ σύγε Ἰουλιάδη ἥρως τὸν σὸν κατὰ θυμόν

Γήθησον

Γήθησον τῇ δ' εὐστεφάνῳ Νύμφῃ, ἐκέκασται
Ἡ πάσῃ ἀρετῇ αἰδοῖ καὶ ἤθεϊ σεμνή
Εὔγονος εἴτ' ἔφελες, καὶ πουλύγονος μάλα εἶναι]
Ἔξοχα τῶν ἄλλων, οἷς μέρμερα ἔργα γάμοιο.
Νῦν ῥα μέλει, παίδων παῖδας ἐν γήρᾳ ἰδέσθαι
Σῆς μετὰ Δωροθέας, ἐν τῇ φιλότητι καὶ εὐνῇ
Καὶ ἐπὶ τοῖς δὲ γάμοις σοι μὲν βίος ἔμπεδος ἔστω,
Εἰ καὶ τις χαλεπὴ καὶ μοῖρ' ὀλόη τοι ὀπήδει
Θάρρει, καὶ κρατερῶς σὺ κακήν περ τέτλαθι θυμῷ
Ἣν ἂν ἔχεις, ταῖς δυστυχίαις γὰρ κρίνεται ἀνήρ
Μήτε καταισχύνειν πατέρων γένος, οἳ τὸ πάρος περ
Ἀλκῇ ἠνορέῃ τε κεκασμένοι ἦσαν ἐπ' αἶαν
Κάρτιστοι, οὓς Γερμανίας ζείδωρος ἄρουρα
Γείνατο ἱπποδάμους, κρυεροῦ θεράποντες Ἄρηος
Καὶ περὶ τῶν ἄλλων πολεμήϊα ἔργα μέδεσθαι
Τῷδε γένει γεγονώς, καὶ αἵματός ἐσσι ἐκείνου
Τοῦ μὲν Ἀρηοφίλου μάλα καὶ ἀμύμονος αἰεὶ
Ὥστε λέων ὀρεσίτροφος ἦτορ ὃς ἄλκιμός ἐστι
Φείδεο τῶν αἰεὶ ἀπαλῶν τε βροτῶν τ' ἀπαλάμνων
Τοὺς δ' ὑπερήνορας ἠδὲ ὑπερφιάλους γε δάμασσον.
Μοῦσαι Ελμοπολίδες τοῦ μεγάλοιο ιουλου
κοῦραι λήξατ' ἀνιδῆς καὶ νῦν τέρπετε θυμῷ
Εἵνεκα τῶνδε γάμων χάριν καὶ ἤματα πάντα
Εἴδατε ἥρωι, σφέτερον πάτερ ὑμνείουσαι.

Ioannes Bokelius.

ULB Halle 3
003 558 967

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-136827-p0011-2

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-136827-p0012-7

Ald. XXV, 26

I,

V c
2487

# REVERENDISSIMO, ET ILLVSTRISSIMO PRINCIPI, AC DOMINO, D. HENRICO IVLIO, EPISCOPO Halberſtadenſi, Adminiſtratori Mindenſi, Duci Brunſuicenſi & Lunæburgenſi, Et Illuſtriſsimæ ac lectiſsimæ principi, ac Dominæ D. DOROTHEAE, potentiſsimi, ac Illuſtriſsimi principis, ac Domini D. AVGVSTI Ducis Saxoniæ, S. Rom. Imp. Archimareſchalli & Electoris &c. filiæ, ſponſis illuſtriſsimis &c.

Ἐπιθαλάμιος λόγος.

HELMSTADII
Excudebat Iacobus Lucius.
Anno M. D. LXXXV.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-136827-p0013-3